**5** ἡμετέρωι βασιλῆϊ, θεοῖσι φίλωι Θεοπόμπωι,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν, ἀγαθὸν δὲ φυτεύειν·
ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννέα καὶ δέκ' ἔτη
νωλεμέως αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῶι δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

1 - 2 Paus. 4. 6. 5    3 Schol. Plat. *Leg.* 629a ἀφικόμενος δὲ οὗτος (Tyrtaeus) εἰς Λακεδαίμονα καὶ ἐπίπνους γενόμενος συνεβούλευσεν αὐτοῖς ἀνελέσθαι τὸν πρὸς Μεσσηνίους πόλεμον, προτρέπων παντοίως· ἐν οἷς καὶ τὸ φερόμενον εἰπεῖν ἔπος, "Μεσσήνην — φυτεύειν"; Olympiod. in *Alc. I* p. 103 Westerink (schol. p. 100 Greene)    4 — 8 Strabo 6. 3. 3 p. 279; 4 - 6 Paus. 4. 15. 2; 7 - 8 Paus. 4. 13. 6

**6** Paus. 4. 14. 5 ⟨ἐς τὰς⟩ τιμωρίας δὲ ἃς ὕβριζον ἐς τοὺς Μεσσηνίους Τυρταίῳ πεποιημένα ἐστίν·

ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ πάνθ' ὅσσων καρπὸν ἄρουρα φέρει.

**7** ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη δεδήλωκεν ἐν τῷδε·
δεσπότας οἰμώζοντες, ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

**8** Strabo 8. 4. 10 p. 362 πλεονάκις δὲ ἐπολέμησαν διὰ τὰς απο-